οὐδὲν τότ᾽ ἀνδρὶ τῷδ᾽ ἐναντίον φέρων·
ὃς οὐ προτιμῶν, ὡσπερεὶ βοτοῦ μόρον,
μήλων φλεόντων εὐπόκοις νομεύμασιν,
ἔθυσεν αὑτοῦ παῖδα, φιλτάτην ἐμοὶ
ὠδῖν᾽, ἐπῳδὸν Θρᾳκίων ἀημάτων.
οὐ τοῦτον ἐκ γῆς τῆσδε χρῆν σ᾽ ἀνδρηλατεῖν,
μιασμάτων ἄποιν᾽; ἐπήκοος δ᾽ ἐμῶν
ἔργων δικαστὴς τραχὺς εἶ. λέγω δέ σοι
τοιαῦτ᾽ ἀπειλεῖν, ὡς παρεσκευασμένης
ἐκ τῶν ὁμοίων, χειρὶ νικήσαντ᾽ ἐμοῦ
ἄρχειν· ἐὰν δὲ τοὔμπαλιν κραίνῃ θεός,
γνώσῃ διδαχθεὶς ὀψὲ γοῦν τὸ σωφρονεῖν.

antistr. ΧΟ. μεγαλόμητις εἶ, περίφρονα δ᾽ ἔλακες.
ὥσπερ οὖν φονολιβεῖ τύχᾳ φρὴν ἐπιμαίνεται·
λίπος ἐπ᾽ ὀμμάτων αἵματος ἐμπρέπει·
ἀντίετον ἔτι σὲ χρὴ στερομέναν φίλων
τύμμα τύμματι τεῖσαι.

ΚΛ. καὶ τήνδ᾽ ἀκούεις ὁρκίων ἐμῶν θέμιν·
μὰ τὴν τέλειον τῆς ἐμῆς παιδὸς Δίκην,
Ἄτην Ἐρινύν θ᾽, αἷσι τόνδ᾽ ἔσφαξ᾽ ἐγώ,
οὔ μοι φόβου μέλαθρον ἐλπὶς ἐμπατεῖ,
ἕως ἂν αἴθῃ πῦρ ἐφ᾽ ἑστίας ἐμῆς
Αἴγισθος, ὡς τὸ πρόσθεν εὖ φρονῶν ἐμοί.
οὗτος γὰρ ἡμῖν ἀσπὶς οὐ μικρὰ θράσους.
κεῖται γυναικὸς τῆσδε λυμαντήριος,
Χρυσηίδων μείλιγμα τῶν ὑπ᾽ Ἰλίῳ,
ἥ τ᾽ αἰχμάλωτος ἥδε καὶ τερασκόπος
καὶ κοινόλεκτρος τοῦδε θεσφατηλόγος,

1370. πληθυνόντων. 1376. ἀναγκαίως ἀπειλεῖ, ἵνα ἐκεῖνοι τὸ ἀμφίβολον τῆς μάχης φυλάξωνται.

---

1368. τότ᾽ Vossius: τόδ᾽ libri. 1370. εὐτόκ^οισ^ b. 1372. θρηκίων libri. ἀημάτων Canterus: τε λημμάτων libri. 1373. χρῆν a (sec. Franzium) χρή bc. 1374. βιασμάτων b. 1382—83. ἐμπρέπει Auratus: εὖ πρέπειαν τίετον a εὖ πρέπει ἀντίετον b εὖ πρέπει ἀτίετον c. 1384. τύμματι Vossius: τύμμα libri. τίσαι libri. 1387. ἐριννύν libri. 1389. ἐμῆς Porsonus: ἐμάς libri. 1395. η κοινόλεκτρος Karstenus.